# ΕΚΛΟΓΗ

## ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ ΠΑΝΤΟΣ

Εἴς τε Δοξολογίαν καὶ Εὐχήν,
Συλλεγεῖσα μὲν παρὰ τοῦ ἐλλογιμωτάτου Διδασκάλου Κυρίου Νεοφύτου
τοῦ ἐξ Ἑβραίων.
Ἀφιερωθεῖσα δὲ, τῷ Ὁσίῳ Πατρὶ
ἡμῶν ΑΘΑΝΑΣΙΩ τῷ ἐν τῷ Ἄθῳ.

Νῦν πρῶτον τύποις ἐκδοθεῖσα,

Συνδρομῇ καὶ δαπάνῃ τοῦ Πανοσιωτάτου Ἀρχιμανδρίτου τῆς μεγίστης
Λαύρας Κυρίου Κοσμᾶ ἐπιδαυρίου.





Ἐν τῷ Ὄρει τοῦ Ἄθω. 1759

Παρὰ Δέκα Σωτήρη, τῷ Θασίῳ.


Ὁ ἅγιος Ἀθανάσιος
ὁ ἐν τῷ Ἄθῳ.

# ΠΡΟΣΦΩΝΗΣΙΣ ΕΙΣ ΤΟΝ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΕΡΑ ἩΜΩΝ

# ἈΘΑΝΑΣΙΟΝ

## ΤΟΝ ἘΝ ΤΩ͂ ἌΘΩ

Τί ἀνταποδώσω, (ὅσιον γὰρ ψαλμικῶς ἀπάρξασθαι καὶ πρὸς σὲ τὸν τοῦ Θεοῦ μου θεράποντα ὅσιον Ἀθανάσιον.) περὶ πάντων, ὧν ἀνταπέδωκάς μοι; Σύ μου κατεύθυνας ἀπὸ νεότητος τὰ διαβήματα πρὸς ἣν αὐτὸς συνεστήσω ἱερὰν Μάνδραν, Ἱερώτατε Πάτερ. Σύ με καὶ τῆς σῆς ἔπειτα κατὰ ἐξαίτησιν τοῦ πειράζοντος, οἶμαι, ὑπερόριον μάνδρας γεγονότα ἐν τόπῳ κακώσεως καὶ ἐν σκηνώμασι σκοτασμοῦ, εἰς γῆν, τὸ τοῦ Ἰὼβ φάναι,



ναι,

ναι, σκοτεινὴν καὶ γνοφερὰν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκέτι φέγγος οὐδὲ ζωὴν ὁρᾶν βροτῶν, παρὰ πᾶσαν ἀνεκαλέσω ἐλπίδα ἐκ φωτὶ καὶ ἐν χώρᾳ ζώντων. Σύ με καὶ τὰ τελευταῖα ταῦτα τῆς σῆς καθηγεῖσθαι μάνδρας ἠξίωσας, ἐγείρας με ἀπὸ γῆς τὸν πτωχὸν καὶ, ὡς ἂν εἴποι Δαβὶδ, ἀπὸ κοπρίας ἀνυψώσας με τὸν πένητα τοῦ καθίσαι με μετὰ ἀρχόντων λαοῦ σου. Τοιγαροῦν ἀνθ' ὧν ἐποίησας μετ' ἐμοῦ προσφέρω σοὶ τὸ τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχοντι, ἧς ἐν ἀμυθήτοις θλίψεσι καὶ μυρίοις πόνοις καὶ ἰδίοις ἀναλώμασιν οὐκ ἀθεεὶ συνεστησάμην ἐν τῷ Ἄθῳ τυπογραφίας τὰς ἀπαρχὰς, ταύτην φημὶ τοῦ ἱεροῦ Ψαλτηρίου τὴν Ἐκλογὴν, νῦν πρῶτον τύποις αὐτὴν ἐκδοὺς, καὶ σοὶ προσανατεθεὶς τῷ μετὰ Θεὸν ἐμοῦ καθ' ἑκά-

θ' ἑκάτερα προϊσταμένῳ Πατρί. Ἣν καὶ ἀποδέξῃ, εὖ οἶδα, θεράπων καὶ μιμητὴς ὢν τοῦ τὰ δύω λεπτὰ τῆς χήρας ἐκείνης ὑπὲρ τὴν τῶν πλουτούντων ἀποδεξαμένου ἁδρότητα.

Ὁ ταπεινὸς ἐν Ἱερομονάχοις καὶ
πρὶν ἐν τῷ Ἄθῳ τῆς Ἱερᾶς Λαύρας
Ἀρχιμανδρίτης,

Κοσμᾶς ὁ
Ἐπιδαύριος.

# ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΕΝΟΙΣ

Ἔργου τε παντὸς καὶ λόγου Θεὸν ἡγεῖσθαι δίκαιον εἰδώς, Φοβερὸν ᾠήθην ἔργου ἅπτεσθαι μέλλων τῆς θείας ἀποστερῆται ἡγεμονίας μικρὰ τοῦ δικαίου φροντίσαντα. Δι' ὅπερ ἐπὶ τῶν νέων τύπων, οἱ μοι ἐνταῦθα ἐξεπονήθησαν κατὰ τὸ ἁγιώνυμον Ὄρος τοῦ Ἄθω διὰ προτροπῆς τε καὶ δαπάνης τοῦ Πανοσιωτάτου Ἀρχιμανδρίτου τῆς μεγίστης Λαύρας Κυρίου Κοσμᾶ τοῦ Ἐπιδαυρίου εἰς κοινὴν ἁπάντων τῶν εὐσεβῶν ὠφέλειαν· πολλῶν καὶ ἄλλων ὑπαρχόντων εἰς ἔκδοσιν οὐδὲν προεθέμην τοῦ βραχέος μὲν πάνυ τὸ ποσὸν Ἱεροῦ τοῦ δὲ βιβλιαρίου, μεγίστου δὲ τὸ ποιὸν, ἐκ-

λογῆς

λογῆς μὲν οὔσης τοῦ Ψαλτηρίου πάντως εἰς δοξολογίαν τε καὶ εὐχὴν, συλλεγείσης δὲ παρὰ τοῦ ἐλλογιμωτάτου ἐν Ἱεροδιακόνοις Κυρίου Νεοφύτου ἀνδρὸς παρὰ πᾶσιν ἤδη γνωρίμου, καὶ τῶν πρὸς ἐμοῦ ἐπαίνων ἥκιστα ἐπιδεομένου. Εὐμενῶς δὴ οὖν ὑμεῖς καὶ περιχαρῶς τοῦτο δεξάμενοι, οἷον ἣν ἀπαρχὴν τῶν ἐμῶν τουτωνὶ πόνων τῇ ὑμετέρᾳ ἀγάπῃ προσφερόμενον, μείζονα καί μοι τὴν σπουδὴν ἐμβαλεῖτε πάντως πρὸς τὸ ἐγχείρημα. Ἐντεύξεσθε γὰρ σὺν Θεῷ μετ' οὐ πολὺ οὐκ ὀλίγοις καὶ ἄλλοις ἐκδοθεῖσιν ἐμοὶ βιβλίοις πλείστην ὅσην τοῖς φιλομαθέσι παρεχομένοις τὴν συντέλειαν, καὶ οἷατισι τὸ πονεῖν τοῦ ῥαθυμεῖν προτετίμηται. Εἰ δέ τι καὶ διημάρτηται, εἴτε παρὰ τὸ μὴ ἀκριβῶς προσεσχηκέναι τῇ συμπλοκῇ τε καὶ προσαρμόσει τῶν χα-

ρακτήρων τοὺς περὶ τοῦ τοῦ διαπονοῦντας, εἴτε δὲ καὶ ἄλλο, μή τι πάθητε ξένον, εἴγε χαλεπὸν τὰ πρῶτα ἐν πᾶσι τὸ τέλειον. Ἔρρωσθε.

Δοῦκας Σακτήρης Θάσιος.

ΕΚ.

# ΕΚΛΟΓΗ
ΤΟΥ
# ΨΑΛΤΗΡΙΟΥ
ΠΑΝΤΟΣ

Εἴς τε Δοξολογίαν καὶ Εὐχὴν Συλλεγέντα Παρὰ Νεοφύτου Ἱεροδιακόνου Πελοποννησίου τοῦ ἐξ Ἑβραίων.

# ΠΡΟΟΙΜΙΟΝ

Τὸ Ψαλτήριον ἁπλῶς μὲν πάντας ἂν ἴδοις τις ψάλλοντας, συνετῶς δὲ, σφόδρα ὀλίγους. Ὀλίγων γὰρ τὸ συνδια-

 στῆ-

τίθεσθαι τὴν ψυχὴν τῇ δυνάμει τε καὶ γνώσει ἑκάστου ῥήματος, ὡς συμποιοῦται καὶ τὴν γεῦσιν τῇ ποιότητι ἑκάστου βρώματος. Τῷ δὲ μὴ ψάλλοντι συνετῶς κατὰ τὴν ἐντολήν, μὴ δὲ συνιέντι τὰ τῆς ἀρχῆς, ἢ τῶν ῥημάτων τὴν δύναμιν, εἴη ἂν ὁ Ψαλμὸς αὐτῷ βάρβαρος, καὶ ὁ ψάλλων ὁμοίως βάρβαρος τῷ ψαλμῷ κατὰ τὸν θεῖον Ἀπόστολον, τῇ γλώττῃ μὲν προτρεχόμενος, ὁ δὲ νόος οἱ ἀκάρπου μένοντος. Ἐν μὲν οὖν ταῖς ἐκκλησίαις κατὰ τὸ ἐπικρατοῦν ἔθος, τὸ Ψαλτήριον αὐτολεξεὶ ἀναγινωσκέσθω, εἴτ' οὖν ψαλλέσθω. Ἤδη τε γὰρ ἐκπαιδεύει κοινά τε καὶ τὰ καθ' ἕκαστα, καὶ Θεοῦ δογματίζει δημιουργίαν, καὶ πρόνοιαν ἄχρι καὶ τῶν ἀτόμων αὐτῶν. Ἔτι τε προαγορεύει τὰς τε τῶν Ἰουδαίων συμφορὰς, καὶ μάλιστα

τὰ

τὰ κατὰ τὴν διπλῆν τοῦ Σωτῆρος παρουσίαν, ἐξιστορῶν ὁμοῦ καί τιν' ἄττα τὰ τοῦ Δαβίδ. Τῶν δὲ τὸν ἐρημικὸν καὶ ἄμικτον βίον ἐπανῃρημένων, ὅσοι νύκτωρ τε καὶ μεθ' ἡμέραν τὴν τῶν ψαλμῶν βίβλον διὰ γλώττης προφέροντες, τὸν τῶν ὅλων ἀνυμνοῦσι Θεόν, καὶ μάλιστα οἷς ῥανὶς ἐνέσταξεν ἔρωτος, προσεύχεσθαι μὲν τῷ πνεύματι, προσεύχεσθαι δὲ καὶ τῷ νοΐ. ψάλλοντας μὲν τῇ γλώττῃ, ψάλλοντας δὲ καὶ τῷ νοΐ. καὶ τὸ ὅλον εἰπεῖν συνετῶς, ταύτην τὴν ἐκλογὴν τοῦ Ψαλτηρίου ἀντὶ παντὸς ἄλλου μετὰ χεῖρας λαβόμενοι, ζαχόρως ᾀδέτωσαν, διπλοῦν ἐντεῦθεν τὸ κέρδος πορίζομενοι, τά τε σφῶν αὐτῶν αἰτήματα γνωρίζοντες εἰς τὸν Θεόν, καὶ τὴν τῶν ᾀδομένων ὁρῶντες τὴν διάνοιαν. τὴν γὰρ προσευχῆς τὴν ποιότητα μάλιστα ἐπι-

ζητη

ζητητέον. ὡς ὅγε ἐν τῇ τῶν ῥημάτων
ποσότητι εἰσακουσθῆναι δοκῶν, δια-
μαρτάνει τοῦ προκειμένου, βαττολο-
γῶν κατὰ τὸν τοῦ Σωτῆρος λόγον,
ὃς καὶ αὐτὸς ἐν τῷ καιρῷ τοῦ πάθους,
ἅπαξ καὶ δὶς καὶ τρὶς προσευξάμενος,
τὸν αὐτὸν εἶπε λόγον. Καθ' ὅτι
ἐν προσευχῇ πέντε λόγοι διὰ τοῦ νο-
ὸς λαλούμενοι, ὑπὲρ μυρίους εἰσὶ τοὺς
ἐν μόνῃ τῇ γλώσσῃ κατὰ τὸν Ἀπόστο-
λον. Ὧν μὲν γὰρ τὸ ὀρεκτικὸν νόσῳ
τινὶ διέφθαρται, τούτοις παντοίων ἐ-
δεσμάτων ἐπεισαγωγῆς, πρὸς δὲ καὶ
ὀψοποιῶν καρυκείας χρεία εἰς τὸν τοῦ
διεφθορότος γαργαλισμόν, τοῖς δὲ
βουλιμιῶσιν ἄρτος καὶ μόνος λιτὸς
προσφερόμενος, ὑπὲρ μέλι καὶ κηρί-
ον γλυκάζον τυγχάνει γλυκύτερος.
οὗ οὐκ ἄνευ. Εἰ δέ τις ἡμῖν γνώμης
κοινωνεῖν οὐκ ἐθέλοι, ἀλλὰ γὰρ μη-
δὲ

δὲ τῆς παρούσης πολυωνήτου τραπέζης. λιτότης γὰρ βρώσεως λιχνευομένοις ἀπρόσφορος. Ἐπεὶ δὲ δύω εἰσὶ προσευχῆς τρόποι κατὰ τὸν μέγαν Βασίλειον, ὁ μὲν, τῆς δοξολογίας μετὰ ταπεινοφροσύνης, ὁ δὲ, τῆς αἰτήσεως ὑποβεβηκὼς, ταύτῃ τοι προσευχομένους, οὐκ εὐθὺς ἐπὶ τὴν αἴτησιν ἰτητέον. διαβολὴ γὰρ τοῦτο προαιρέσεως, ὡς κατὰ χρειώδη μᾶλλον ἀνάγκην, ἢ κατὰ ἀγάπην προσευχομένων τῷ Θεῷ, ἀλλ᾽ ἀπὸ δοξολογίας ἀρκτέον, ἀπὸ τῶν ἁγίων γραφῶν ἐκλεγομένους καὶ διηγουμένους αὐτοῦ τὰ θαυμάσια. οὐδὲ γὰρ ἄλλως θετέον τὴν τοῦ Θεοῦ δόξαν, ὅτι μὴ τῶν προσόντων αὐτῷ θαυμάτων τὴν ἐξαρίθμησιν. Δοξολογήσαντας δὲ τὸν ἐνόντα τρόπον ἐκ τῶν γραφῶν, καὶ ἀναπέμψαντας αἶνον εἰς τὸν Θεὸν ἐν ταπεινοφροσύνῃ;

τὸ τηνικαῦτα αἰτεῖν οὐδὲν, ὅτι μὴ μόνον πίστιν καὶ τὰ τῆς ἀρετῆς κατορθώματα, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν. Ὑπὲρ μὲν τῶν σωματικῶν οὐ χρεία αἰτήσεως, καὶ πρὸ αἰτήσεως ἡμῖν ἐπιχορηγουμένων. Ἐκεῖνα δὲ δίχα αἰτήσεως, καὶ ταύτης μετὰ καμάτου καὶ παραμονῆς πολλῆς οὐκ ἄν τις λάβοι.

ΔΟΞΟ

οἱ Στὸν Ἄθω ἔβαλαν
[illegible] !!!

# ΔΟΞΟΛΟΓΙΑ

Ἐξομολογοῦμαί σοι, Θεὲ Πάτερ Παντοκράτορ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐν ὅλῃ καρδίᾳ μου, διηγούμενος πάντα τὰ θαυμάσιά σου, ὅτι ἀγαθὸς εἶ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεός σου. Πρὸ τοῦ ὄρη γεννηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. Μέγας εἶ, Κύριε, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης σου

οὐκ ἔστι πέρας, οὐδὲ τῆς συνέσεώς σου ἀ-
ριθμός. Κατὰ τὸ ὄνομά σου ὁ Θε-
ὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα
τῆς γῆς. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι
δυσμῶν αἰνετὸν τὸ ὄνομά σου. Σὺ
εἶ ὁ Θεὸς, ὁ ποιῶν θαυμάσια μόνος.
Ὁ ποιῶν τοὺς Ἀγγέλους σου Πνεύμα-
τα, καὶ τοὺς λειτουργούς σου πυρὸς φλό-
γα. Σὺ δεσπόζεις ἐν τῇ δυναστείᾳ
σου τοῦ αἰῶνος. Ἡ βασιλεία σου βα-
σιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δε-
σποτεία σου ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν
ἐνεδύσω. Ἀναβαλλόμενος φῶς ὡς
ἱμάτιον. Τὰ σύμπαντα ἀλλα-
γήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ. δι-
αμένων εἰς τὸν αἰῶνα. Κατ' ἀρχὰς
σὺ Κύριε τὸν Οὐρανὸν ἐποίησας. ἐκ-
τείνας αὐτὸν ὡσεὶ δέρριν. στεγάζων
ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, τιθεὶς

ἐν νέφεσι τὴν ἐπίβασιν καὶ τὴν περιβολὴν αὐτοῦ. Ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ διηγοῦνται τὴν δόξαν σου. Ποίησιν δὲ τῶν χειρῶν σου ἀναγγέλει τὸ στερέωμα. Τῷ λόγῳ σου, Κύριε, οἱ Οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματός σου πᾶσα ἡ δύναμις αὐτῶν. Σὺ εἶπες καὶ ἐγεννήθησαν. Σὺ ἐνετείλω καὶ ἐκτίσθησαν. Καὶ ὁ λόγος σου, Κύριε, διαμένει ἐν τῷ οὐρανῷ. Ἐθεμελίωσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. καὶ διαμένει. οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῆς. Τῇ διατάξει σου διαμένει ἡμέρα. Ὅτι τὰ σύμπαντα δοῦλα σά. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ. Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον, ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνό-

ματα καλῶν. Σὺ ἐποίησας πάν-
τα τὰ ὡραῖα τῆς γῆς. Θέρος καὶ ἔαρ
σὺ ἔπλασας αὐτά. Σοί εἰσιν οἱ οὐ-
ρανοὶ, καὶ σή ἐστιν ἡ γῆ, καὶ τὸ πλήρω-
μα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ
κατοικοῦντες ἐν αὐτῇ. Ἐν τῇ χει-
ρί σου τὰ πέρατα τῆς γῆς. Σὺ ἐπὶ θα
λασσῶν ἐθεμελίωσας αὐτὴν, καὶ ἐπὶ
ποταμῶν ἐστερέωσας αὐτήν. Τὸν
βοῤῥᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας.
Σὺ ἐκραταίωσας αὐτὴν ἐν τῇ δυνά-
μει σου. Σὺ δεσπόζεις τοῦ κράτους τῆς
θαλάσσης, τὸν δὲ σάλον τῶν κυμά-
των αὐτῆς σὺ καταπραΰνεις, συνά-
γων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης.
Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.
Ἑδράζων ὄρη ἐν τῇ ἰσχύϊ σου.
Περιεζωσμένος ἐν δυνα-
στείᾳ. Συνταράσσων
τὸ κύτος τῆς θαλά-
σσης. Παν-

Πάντα ὅσα ἠθέλησας, ἐποίησας. καὶ ἡ βουλή σου εἰς τὸν αἰῶνα μένει, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Ὡς ὄρη κορυφούμενα ἀναβαίνουσι τῆς ἀβύσσου τὰ ὕδατα, καὶ καταβαίνουσιν ὡς πεδία εἰς ὃν ἐθεμελίωσας αὐτὰ τόπον. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται. ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν. ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ. Ὁ ἑτοιμάζων τῇ γῇ ὑετόν. Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Ἀστραπὰς εἰς ὑετὸν ἐποίησας. Ἐξάγων ἀνέμους ἐκ θησαυρῶν σου. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων σου. Ἀπὸ

καρ-

καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων ἐν ὄρεσι χόρτον καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. Ὁ τοῦ ἀνθρώπου τὴν μὲν καρδίαν ἐν οἴνῳ εὐφραίνων, ἐν ἄρτῳ δὲ στηρίζων, τὸ δὲ πρόσωπον ἐν ἐλαίῳ ἱλαρύνων. Διδοὺς τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις σε. Ὁ ἀποστέλλων τὸν λόγον σου ἕως τάχους τῇ γῇ, καὶ στέαρ πυροῦ ἐμπιπλῶν αὐτήν. Διδοὺς χιόνα σου ὡσεὶ ἔριον. Ὁμίχλην ὡσεὶ σποδὸν πάσσων. Βάλλων κρύσταλλόν σου ὡσεὶ ψωμούς. Κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; Ἀποστέλλων τὸν λόγον σου καὶ τήκων αὐτά. Πνέων τὸ Πνεῦμά σου καὶ ῥεύσουσιν ὕδατα. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου. αἱ κέδροι τοῦ λιβάνου, ἃς ἐφύτευσας ἐπὶ

τῷ

τῶ ἐννοσσεύειν ἐκεῖ τὰ στρουθία. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις. Πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησας Σελήνην εἰς καιρούς. Ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νύξ. ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι, τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ σοῦ, ὁ Θεὸς, βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ Ἥλιος καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιταθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν τοῦ ἔργου αὐτοῦ ἕως ἑσπέρας. Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. ἐκεῖ ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμός. Ζῶα μικρὰ μετὰ μεγάλων, ἐκεῖ πλοῖα διαπορεύονται. Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Πάντα πρὸς σὲ προσδοκῶσι,

καὶ πάντων οἱ ὀφθαλμοὶ εἰς σὲ ἐλπί-
ζουσι, δοῦναι τὴν τροφὴν αὐτῶν ἐν
εὐκαιρίᾳ. Δόντος σου αὐτοῖς, συλ-
λέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα,
τὰ σύμπαντα πλησθήσονται χρηστό-
τητος. Ἀποστρέψαντος δέ σου τὸ
πρόσωπον, ταραχθήσονται. Ἀν-
τανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλεί-
ψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέ-
ψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμα
σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς
τὸ πρόσωπον τῆς γῆς. Ὁ ἐπιβλέπων
ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν.
Ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζον-
ται. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου,
Κύριε, ὁ Κύριος ἡμῶν, πάντα ἐν σο-
φίᾳ ἐποίησας. Ὡς θαυμαστὸν τὸ
ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐ-
πήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω
τῶν οὐρανῶν. Ἤτω σου ἡ Δόξα. Κύ-
ριε

ριε, εἰς τοὺς αἰῶνας.

Στάσις α΄.

Κύριε, τί ἐστιν Ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους. δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Πρόβατα καὶ βόας ἁπάσας. ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ πάντα τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Ὑψώσω σε, ὁ Θεός μου ὁ Βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου καθ᾽ ἑκάστην ἡμέραν, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον σου. Δικαιοσύνης πλήρης ἡ δεξιά σου. καὶ ἡ δικαιοσύνη σου μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Εὐθὺς ὁ λόγος σου, Κύριε, καὶ ὁ νόμος σου ἄμωμος, ἐπιστρέφων ψυχάς. Πᾶσαι αἱ ὁδοί σου ἔλεος, καὶ αἱ ἐντολαί σου ἀλήθεια. καὶ τὰ κρίματά σου δικαιοσύνη, εὐφραίνοντα καρδίαν. Πεπυρωμένα τὰ λόγιά σου σφόδρα, ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. καὶ πάντα τὰ ἔργα σου ἐν πίστει. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ

προσώπου σου. καὶ ἡ ἀλήθειά σου κυκλώσει. Ἔργα χειρῶν σου ἀλήθεια καὶ κρίσις. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε. Πισταὶ πᾶσαι αἱ ἐντολαί σου, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι, σοφίζουσαι νήπια, καὶ τηλαυγεῖς φωτίζουσαι ὀφθαλμούς. Τὰ κρίματά σου ἄβυσσος πολλή. Πιστὸς εἶ σύ, Κύριε, καὶ δίκαιος ἐν πάσαις ταῖς ὁδοῖς σου καὶ ἐν πᾶσι τοῖς λόγοις σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου. Χρηστὸς εἶ, Κύριε, τοῖς σύμπασιν, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ. οὐκ εἰς τέλος ὀργισθήσῃ, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖς. Εἴη τὸ ὄνομά σου Κύριε εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ

ἕως τοῦ αἰῶνος.

Αἰνέσει σε, Κύριε, ἡ ψυχή μου καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιόν σου. Σὺ εἶ ὁ ποιῶν ἐλεημοσύνην καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. Ὁ λύων τοὺς πεπεδημένους. Ὁ σοφίζων τοὺς τυφλούς. Ὁ ὑποστηρίζων τοὺς καταπίπτοντας. Ὁ ἀνορθῶν τοὺς κατερραγμένους, ὁ ἀγαπῶν τοὺς δικαίους. Ὁ φυλάσσων τοὺς προσηλύτους. Ὁ ὀρφανὸν καὶ χήραν ἀναλαμβανόμενος. Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Ὁ εὐδοκῶν ἐν τοῖς φοβουμένοις σε καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεός σου. Ὁ ἱλατεύων πάσας τὰς ἀνομίας ἡμῶν. Ὁ ἰώμενος πάσας τὰς νόσους ἡμῶν. Ὁ λυτρούμενος ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν. Ὁ στεφανῶν ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Ὁ

ἐμπιπλῶν ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν ἡμῶν. Ὁ ἀνακαινίζων ὡς ἀετοῦ τὴν νεότητα ἡμῶν. Ὁ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου δηλώσας ἡμῖν. Ὁ μὴ κατὰ τὰς ἀνομίας ἡμῶν ποιήσας ἡμῖν, μηδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταποδεδοκὼς ἡμῖν. Ὁ κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς κραταιώσας τὸ ἔλεός σου ἐπὶ τοὺς φοβουμένους σε. Ὁ καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν μακρύνας ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Ὁ καθὼς οἰκτείρει πατὴρ υἱοὺς, οἰκτείρων τοὺς φοβουμένους σε. Οὗ τὸ ἔλεος ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοῖς φοβουμένοις σε. Καὶ ἡ δικαιοσύνη σου ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην σου καὶ μεμνημένοις τῶν ἐντολῶν σου τοῦ ποιῆσαι αὐτάς.

Κύριε

Κύριε, Σὺ ἔγνως πάντα τὰ ἔσ-
χατα καὶ τὰ ἀρχαῖα. Σὺ ἔγνως
τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου.
Σὺ συνῆκας τοὺς διαλογισμούς μου
μακρόθεν. Τὴν τρίβον μου σὺ ἐξι-
χνίασας, καὶ πάσας τὰς ὁδούς μου προ-
εῖδες. Τὸ ἀκατέργαστόν μου εἶδον οἱ
ὀφθαλμοί σου. Σὺ γὰρ ἔπλασάς
με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ
ἐποίησας ἐν κρυφῇ. Ἐθαυμαστώθη
ἡ Γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη,
οὐ μὴ δύναμαι πρὸς αὐτήν. Ποῦ
πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ
ἀπὸ τοῦ Προσώπου σου ποῦ φύγω; ἐὰν
ἀναβῶ εἰς τὸν Οὐρανόν, Σὺ ἐκεῖ εἶ. ἐ-
ὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. ἐὰν
ἀναλάβοιμι πτέρυγας περιστερᾶς καὶ
κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θα-
λάσσης, κἀκεῖ ἡ δεξιά σου καθέξει

με. Ἐγὼ δὲ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου, ἀναγγέλων ἑκάστοτε τὴν δικαιοσύνην σου καὶ τὴν εἰς ἐμὲ σωτηρίαν σου, τὸν βραχίονά σου καὶ τὴν δυναστείαν σου. ἃ ἐποίησάς μοι μεγαλεῖα. ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς. καὶ ἐπιστρέψας, ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου. καὶ ἐπιστρέψας, παρεκάλεσάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. καὶ ἐλυτρώσω τὴν ψυχήν μου. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με. Στάσις β'.

Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε ὁ Θεὸς τῶν δυνάμεων; ἀκουστὰς ποιήσει

πάσας τὰς αἰνέσεις σου; ὁ ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου ἐποίησας θαυμάσια ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ τάνεως; βραχίων ὁ σὸς μετὰ δυναστείας. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομά σου. Σὺ ἐπάταξας Αἴγυπτον, καὶ ἐξήγαγες τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῆς ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ. Μετέστρεψας εἰς αἷμα τοὺς ποταμοὺς τῶν αἰγυπτίων, καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσι. Καὶ ἀπέκτεινας τοὺς ἰχθύας αὐτῶν. Ἐξαπέστειλας εἰς αὐτοὺς βάτραχον ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν, καὶ διέφθειρον αὐτοὺς, καὶ κυνόμυιαν, καὶ κατέφαγον αὐτούς. Εἶπες καὶ ἦλθον σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισας. Εἶπες καὶ ἐγένοντο ἕλκη, φλυκτίδες ἀναζέουσαι ἐπὶ τοῖς

ἀνθρώ

ἀνθρώπου καὶ ἐπὶ τὰ τετράποδα ἐν πάσῃ γῇ Αἰγύπτου. Ἔθου τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. Καὶ ἀπέκτεινας ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ. καὶ πᾶν ξύλον ὁρίου αὐτῶν συνέτριψας. καὶ παρέδωκας εἰς χάλαζαν τὰ κτήνη αὐτῶν καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Εἶπες καὶ ἦλθεν ἀκρὶς καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός. καὶ ἔδωκας τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Ἐξαπέστειλας σκότος ψηλαφητὸν θύελλαν καὶ ἐσκότασας. Ἐξαπέστειλας εἰς αὐτοὺς θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν δι' ἀγγέλων πονηρῶν. καὶ οὐκ ἐφείσω ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν. καὶ ἐπάταξας πᾶν πρωτότοκον ἀπὸ ἀνθρώπου ἕως κτήνους ἐν τοῖς

σκηνώμασι Χάμ. καὶ ἀπαρχὴν παντὸς
πόνου καὶ πάσης πληγῆς αὐτῶν. καὶ
ἀπῆρας ὡς πρόβατα τὸν λαόν σου ἐν
χειρὶ Μωϋσῆ καὶ Ἀαρών, ἐξαγαγὼν
αὐτὸν ἐν ἀργυρίῳ καὶ χρυσίῳ. Δι-
έρρηξας τὴν ἐρυθρὰν θάλασσαν εἰς δι-
αιρέσεις, καὶ διήγαγες αὐτοὺς διὰ μέ-
σου αὐτῆς, παραστήσας τὰ ὕδατα ὡς
ἐν ἀσκῷ. καὶ ἐξετίναξας εἰς αὐτὴν τὸν
Φαραώ, καὶ τὴν δύναμιν αὐτοῦ, τα-
πεινώσας ὡς τραυματίαν τὸν ὑπερήφα-
νον. καὶ ἀνήγαγες αὐτοὺς ὡσεὶ ποίμ-
νιον ἐν ἐρήμῳ. καὶ ὡδήγησας αὐτοὺς
ἐπ' ἐλπίδι ἐν νεφέλῃ ἡμέρας εἰς σκέ-
πην αὐτοῖς, καὶ ὅλην τὴν νύκτα ἐν φω-
τισμῷ πυρός. καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς
αὐτῶν ὁ ἀσθενῶν. Ἀπῆρας νότον
ἐξ οὐρανοῦ. καὶ ἐπήγαγες ἐν τῇ δυνά-
μει σου λίβαν, καὶ ἔβρεξας ὡσεὶ χοῦν
σάρκας καὶ ὡσεὶ ἄμμον θαλασσῶν

τεινὰ πτερωτά. καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. καὶ συνετείλω νεφέλαις ὑπὲρ ἄνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξας, καὶ ἔβρεξας αὐτοῖς μάννα φαγεῖν. καὶ ἄρτον οὐρανοῦ ἔδωκας αὐτοῖς. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος. Ἐπισιτισμὸν ἀπέστειλας αὐτοῖς εἰς πλησμονήν. Διέρρηξας πέτραν ἐν ἐρήμῳ καὶ ἐπότισας αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ. καὶ ἐξήγαγες ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγες ἐν ἀνύδροις ὡς ποταμοὺς ὕδατα. καὶ ἐκ πέτρας μέλι ἐχόρτασας αὐτούς. καὶ ἀνέστησας μαρτύριον ἐν Ἰακώβ, καὶ νόμον ἔθου ἐν Ἰσραήλ, καὶ ἐξέβαλες ἀπὸ προσώπου αὐτῶν ἔθνη πολλά, ἀποκτείνας Βασιλεῖς κραταιούς, τὸν Σιὼν Βασιλέα τῶν Ἀμορραίων καὶ τὸν Ὢγ Βασιλέα τῆς Βασὰν, καὶ πάσας τὰς Βασι-

λείας Χαναάν. Καὶ κατεσκήνωσας ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ, καὶ ἐψώμισας αὐτοὺς ἐκ στέατος πυροῦ, εἰσαγαγὼν αὐτοὺς εἰς ὄρος ἁγιάσματός σου, ὃ ἐκτήσατο ἡ δεξιά σου. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν τὴν γῆν, οὐδὲ ὁ βραχίων αὐτῶν ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου. Ἔθνη ἐξολόθρευσε καὶ κατεφύτευσεν αὐτούς. Ὅτι εὐδόκησας ἐν αὐτοῖς. Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν, καὶ ἡ αἴνεσίς σου μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Νυνὶ δὲ ἡμᾶς ἀπώσω καὶ κατῄσχυνας. Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοῖς ἐχθροῖς ἡμῶν, καὶ οἱ μισοῦντες ἡμᾶς διαρπάζουσιν ἑαυτοῖς.

Ἔθου-

Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. καὶ οὐκ ἔστι πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. καὶ ἡ αἰσχύνη τοῦ προσώπου ἡμῶν ἐκάλυψεν ἡμᾶς ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. Ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, καὶ ὡδοποίησας ἔμπροσθεν αὐτῆς. Ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς

καὶ αἱ

καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους
τοῦ Θεοῦ. Ἐξέτεινε τὰ κλήματα αὐ-
τῆς ἕως θαλάσσης καὶ ἕως ποταμῶν
τὰς παραφυάδας αὐτῆς. Ἵνα τί
καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυ-
γῶσιν αὐτὴν πάντες οἱ παραπορευό-
μενοι τὴν ὁδόν; ἐλυμήνατο αὐτὴν ὗς
ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενε-
μήσατο αὐτήν. Κύριε ὁ Θεὸς τῶν
δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν
προσευχὴν τῶν δούλων σου; ἐπίστρεψον
δὴ καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ, ὁ καθή-
μενος ἐπὶ τῶν χερουβίμ, καὶ ἴδε καὶ ἐπίσ-
κεψαι τὴν ἄμπελον ταύτην, καὶ κα-
τάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δε-
ξιά σου. Σὺ γὰρ εἶ Κύριος ὁ Θεὸς
ἡμῶν. καὶ οὐκ ἐπελαθόμεθα τοῦ ὀνό-
ματός σου ὁ Θεός, οὐδὲ διεπετάσαμεν
χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον.
Σὺ γὰρ γινώσκεις τὰ κρύφια τῆς καρ-

δίας, ὅτι οὐκ ἔστιν ἐν ἡμῖν Θεὸς πρόσ-
φατος. Διὸ δεόμεθά σου, ἐξεγέρ-
θητι. Ἵνα τί ὑπνοῖς, Κύριε; ἀ-
νάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος, ἵνα
τί τὸ πρόσωπόν σου ἀποστρέφεις καὶ ἐ-
πιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς
θλίψεως; Ψωμιεῖς ἡμᾶς ἄρτον δα-
κρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν
ἐν μέτρῳ; Ἀνάστηθι, Κύριε, βοή-
θησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνε-
κεν τοῦ ὀνόματός σου.

Σὺ γὰρ ὁ ὡραῖος κάλλει παρὰ τοὺς
υἱοὺς τῶν ἀνθρώπων Μονογενὴς Υἱ-
ός, ὃν ὁ Πατὴρ ἐκ γαστρὸς πρὸ ἑωσ-
φόρου ἐγέννησεν, ἐπ' ἐσχάτων τῶν ἡ-
μερῶν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ
τὴν ἡμετέραν σωτηρίαν κλίνας οὐρα-
νοὺς καὶ καταβὰς ὡς ὑετὸς ἐπὶ πόκον,
ἀνεκφοιτήτως κατὰ τὰς γραφὰς ἐ-
νανθρώπησας, Σαρκωθεὶς ἐκ Πνεύ-

ματος

ματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, ἐπιθυμήσας τοῦ κάλλους αὐτῆς, ἣ καὶ παρέστη ἐκ δεξιῶν σου Βασίλισσα ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη. Σταυρωθείς τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, χολῆς καὶ ὄξους εἰς βρῶσίν τε καὶ πόσιν προσενεχθέντων σοι, καὶ παθὼν, ὀρυχθέντων σου τῶν χειρῶν καὶ τῶν ποδῶν, καὶ ταφεὶς, καὶ ὅλως ἐκ χειμάρρου ἐν ὁδῷ πιὼν, ὕψωσας διὰ τοῦτο κεφαλήν, ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ. Καὶ ἀναβὰς εἰς τοὺς οὐρανοὺς ἐν ἀλαλαγμῷ καὶ φωνῇ σάλπιγγος, καθέζῃ ἐκ δεξιῶν τοῦ Πατρὸς, ἐντείνων καὶ κατευοδούμενος καὶ βασιλεύων, καὶ κατακυριεύων ἐν μέσῳ τῶν ἐχθρῶν σου, οὓς ἔθετο ὑποπόδιον τῶν ποδῶν σου· ἡ μετὰ σοῦ πατρικὴ θεαρχία ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, καθ' ἣν ἐδόθη σοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

Στάσις γ΄.

# ΑΙΤΗΣΙΣ

Ἡμαρτον, ὁ Θεὸς, ἐν πᾶσιν. Ἠνόμησα ἀποστῆναι ἀπὸ σοῦ. Ἠδίκησα ἐνώπιόν σου, καὶ τῶν ἐντολῶν σου οὐκ ἤκουσα. οὐδὲ ἐποίησα καθὼς ἐνετείλω μοι. οὐ συνῆκα τὰ θαυμάσιά σου. οὐδὲ ἐμνήσθην τοῦ πλήθους τοῦ ἐλέους σου. Παρεπίκρανά σε πολλάκις, σὲ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης, ἐν ᾧ ἡγιάσθην, κοινὸν ἡγησάμενος, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας. ὥστε νῦν οὐκ ἔξεστιν ἐμοὶ ἀνοῖξαι τὸ στόμα. Ἀλλὰ πάλιν

ἐξα-

ἐξακολουθῶ ἐν ὅλῃ καρδίᾳ, καὶ φο-
βοῦμαί σε καὶ ζητῶ τὸ πρόσωπόν σου.
Μὴ δὴ παραδώσῃς με εἰς τέλος διὰ τὸ
ὄνομά σου τὸ ἅγιον, μηδὲ ἀποστήσῃς
τὸ ἔλεός σου ἀπ' ἐμοῦ. Ἀλλ' ἐπί-
βλεψον ἐπ' ἐμὲ, καὶ ποίησον μετ' ἐμοῦ
κατὰ τὴν ἐπιείκειάν σου.

Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ
μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆ-
θος τῶν οἰκτιρμῶν σου ἐξάλειψον πά-
σας τὰς ἀνομίας μου. Τῶν σῶν γὰρ
εἰμὶ κἀγὼ χειρῶν πλάσμα καὶ ποίη-
μα. Καὶ σύ μου εἶ Θεὸς ἀπὸ γαστρὸς
μητρός μου. Σὺ γὰρ εἶ ὁ ἐκσπά-
σας με ἐκ γαστρός. Σῶσόν με ἡ
ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.
Ὅτι ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γα-
στρὸς, ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀ-
νομίας

νομίας μου, καὶ ἀπὸ τῶν κρυφίων μου παραπτωμάτων καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Σὺ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι. Πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Τὸ ἔργον τῶν χειρῶν σου μὴ παρίδῃς. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Καὶ ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τοῦ ἐλέους σου· ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς.

Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύ-
ριε, Κύριε, τίς δικαιωθήσεται; ἢ τίς
ὑποστήσεται ἐνώπιόν σου; Κατὰ τὸ ἔ-
λεός σου μνήσθητί μου σὺ, ἕνεκεν τῆς
χρηστότητός σου, Κύριε. Ταχὺ προ-
καταλαβέτωσαν με οἱ οἰκτιρμοί σου,
Κύριε, ὅτι ἐπτώχευσα σφόδρα.
Βοήθησόν μοι ὁ Θεὸς ὁ Σωτήρ μου.
Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου ἱ-
λάσθητι τῇ ἁμαρτίᾳ μου. Πολλὴ
γάρ ἐστι. Μή ποτε εἴπῃ ὁ ἐχθρὸς,
ποῦ ἐστιν ὁ Θεὸς αὐτοῦ; Ἄνες μοι ἵνα
ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν τῆς ἐν-
τεῦθεν παροικίας. Ἴδε τὴν ταπεί-
νωσίν μου καὶ τὸν κόπον μου. Ἴδε τὴν ἐκ
τῶν ἁμαρτιῶν συντριβὴν τῆς ψυχῆς μου,
καὶ ἄφες πᾶσαν τὴν ἀσέβειαν τῆς καρ-
δίας μου. Περίελε ἀπ' ἐμοῦ τὸ ἐκ
τῆς ἁμαρτίας ὄνειδος. Καρδίαν
καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός, καὶ
πνεῦ-

πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγ-
κάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ
τοῦ προσώπου σου, τὸ δὲ Πνεῦμά σου
τὸ Ἅγιον ἐγκαίνισον ἐν ἐμοί. Ἀπό-
δος μοι τὴν ἀγαλλίασιν τῆς σωτηρίας
μου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν
με. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου,
τὰ χείλη μου ἄνοιξον, ὅπως ἀναγγεί-
λῃ ἡ γλῶσσα τοῦ στόματός μου τὴν αἴ-
νεσίν σου καὶ τὸ εἰς ἐμέ σου ἔλεος. Ὅτι
θυσίαν οὐκ ἠθέλησας, οὐδὲ ὁλοκαυ-
τώματα εὐδοκεῖς. Θυσία σοὶ τῷ
Θεῷ πνεῦμα συντετριμμένον. Μὴ
δὴ ἐξουδενώσῃς, ὁ Θεὸς, καρδίαν συν-
τετριμμένην καὶ τεταπεινωμένην.
Στρέψον τὸν κοπετόν μου εἰς χαρὰν ἐ-
μοί. Διάῤῥηξον τοὺς δεσμούς μου καὶ
τὸν σάκκον μου καὶ περίζωσόν με εὐ-
φροσύνην.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς
μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλ-
θέτω. Κατευθυνθήτω ἡ προσευχή
μου ὡς θυμίαμα ἐνώπιόν σου. Ἐν ᾗ
ἂν ἡμέρᾳ θλίβομαι, κλῖνον πρός με
τὸ οὖς σου. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέ-
σωμαί σε, ταχὺ ἐπάκουσόν μου. Ὁ
σῶσόν με, ὁ Θεὸς ἕνεκεν τοῦ ἐλέους σου,
ὅτι ἀσθενής εἰμι. Ὅτι ἐξέλιπον ὡ-
σεὶ καπνὸς ἐν ματαιότητι αἱ ἡμέραι
μου. Ὅτι εἰσήλθοσαν ὕδατα ἕως
ψυχῆς μου. Ἐνεπάγην εἰς ἰλὺν
βυθοῦ, ἧς οὐκ ἔστιν ὑπόστασις. Ἦλ-
θον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ
καταιγὶς κατεπόντισέ με. Ὅτι ἐ-
πλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή
μου τῷ ᾅδῃ ἤγγισεν. Ἐπληθύν-
θησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς
μου αἱ ἀνομίαι μου, καὶ αἱ ἁμαρτίαι
μου ὑπερῆραν τὴν κεφαλήν μου. ὡσ-

φο

φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ.
Ἐταλαιπώρησα καὶ κατεκάμφθην
ἕως τέλους. Ἐκακώθην καὶ ἐταπει-
νώθην καὶ ἠχρείωμαι ἕως σφόδρα. Προ-
σώζεσαν καὶ ἐσάπησαν οἱ ἐξ ἀφροσύ-
νης μώλωπες τῆς ψυχῆς μου. Ὅτι αἱ
ψόαι μου ἐπλήθησαν ἐμπαιγμάτων.
Κύριε, καιρὸς εὐδοκίας τοῦ ῥύσασθαί
με. Μὴ ἐγκαταλίπῃς με, μηδὲ
ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ
παιδός σου, μηδὲ ἐκκλίνῃς ἐν ὀργῇ
ἀπὸ τοῦ δούλου σου. ὅτι θλίβομαι,
ἀλλὰ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν
σου ἐπίβλεψον ἐπ' ἐμέ. καὶ ἐν τῷ πλή-
θει τοῦ ἐλέους σου πρόσχες τῇ ψυχῇ μου
καὶ λύτρωσαι αὐτήν. Ὕψωσόν με
ἐκ τῶν πυλῶν τοῦ θανάτου, ἀνάγαγε
ἐξ ᾅδου τὴν ψυχήν μου. Σῶσόν με
ἀπὸ πηλοῦ ἰλύος ᾧ ἐνεπάγην. καὶ στῆ-
σον ἐπὶ πέτραν τοὺς πόδας μου. Μὴ

με εἰς τέλος καταποντισάτω καταιγὶς ὕδατος. μὴ δὲ καταπιέτω με βυθὸς ἁμαρτίας. μὴ δὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ ἀπογνώσεως τὸ στόμα αὐτοῦ. μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου μὴ δὲ σώζοντος.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με, μὴ δὲ παραστήσῃς κατὰ πρόσωπόν μου τὰς ἁμαρτίας μου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν λάκκῳ κατωτάτω, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου, καὶ ἠ-



53